eul_wid: crg-aa

*Τελέστης ὁ Σελινουντίος* · Telestes of Selinus

## On the Flute and Musical Rivalry

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Αἰολική* Aeolic (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1a.1 ὃν σοφὸν
book 1a.2 σοφὰν λαβοῦσαν οὐκ ἐπέλπομαι νόωι δρυμοῖς ὀρείοις ὄργανον δίαν Ἀθάναν δυσόφθαλμον αἶσχος ἐκφοβη-[ln_3]θεῖσαν αὖθις
book 1a.3 χερῶν ἐκβαλεῖν νυμφαγενεῖ χειροκτύπωι
book 1a.4 φηρὶ Μαρσύαι κλέος·[ln_5]τί γάρ νιν εὐηράτοιο κάλλεος ὀξὺς ἔρως ἔτειρεν, ἇι
book 1a.5 παρθενίαν ἄγαμον καὶ ἄπαιδ’ ἀπένειμε Κλωθώ;
book 1b.1 ἀλλὰ μάταν ἀχόρευτος ἅδε ματαιολόγων φάμα
book 1b.2 προσέπταθ’ Ἑλλάδα μουσοπόλων
book 1b.3 σοφᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος.
book 1c.1 ἃν
book 1c.2 συνεριθοτάταν Βρομίωι
book 1c.3 παρέδωκε
book 1c.4 σεμνᾶς δαίμονος ἀερόεν
book 1c.5 πνεῦμ’ αἰολοπτέρυγον σὺν ἀγλαᾶν ὠκύτατι
book 1c.6 χειρῶν.
book 2.1 [ln_1]ἢ Φρύγα καλλιπνόων αὐλῶν ἱερῶν βασιλῆα, Λυδὸν ὃς ἅρμοσε
book 2.2 πρῶτος Δωρίδος ἀντίπαλον μούσας νομοαίολον ὀρφναι πνεύματος εὔπτερον αὔραν ἀμφιπλέκων καλάμοις.
book 4.1 [ln_1]ἄλλος δ’ ἄλλαν κλαγγὰν ἱεὶς κερατόφωνον ἐρέθιζε μάγαδιν
book 4.2 πενταρράβδωι
book 4.3 χορδᾶν ἀρθμῶι χέρα καμψιδίαυλον ἀναστρωφῶν τάχος.
book 6.1 πρῶτοι
book 6.2 παρὰ κρατῆρας Ἑλλάνων ἐν αὐλοῖς
book 6.3 συνοπαδοὶ Πέλοπος Ματρὸς ὀρείας
book 6.4 Φρύγιον ἄεισαν νόμον· τοὶ δ’ ὀξυφώνοις

book 6.5 πηκτίδων

book 6.6 ψαλμοῖς κρέκον[ln_5]Λύδιον ὕμνον.

book 7 ἄκατον